Τοῦ ἁγίου Ἐνδόξου Μεγαλομάρτυρος

# ΜΗΝΑ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ

## ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

Συντεθεῖσα μὲν παρὰ τοῦ Πανοσιωτάτου καὶ Ἐλλογιμωτάτου Ἱεροκήρυκος καὶ Ἀρχιμανδρίτου τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

ΚΥΡΙΟΥ ΙΩΑΝΝΟΥ

Ἱεροσολύμου Κεφαληνιέως.

Προσφωνηθεῖσα δὲ

Τῷ Τιμιωτάτῳ καὶ Χρησιμωτάτῳ

ΚΥΡ ΣΚΟΥΛΗ ΣΗΛΙΒΕΡΓΩ

ΓΟΥΝΑΡΕΪ

Ὅστις χάριν τῆς ἧς ἔχει πρὸς τὸν ἅγιον μεγάλης εὐλαβείας, καὶ διὰ ὠφέλειαν τῶν ὀρθοδόξων καὶ εὐλαβῶν Χριστιανῶν. Ἰδίοις ἀναλώμασι τύποις αὐτὴν ἤδη ἐκδίδωσιν.

Ἐν τῷ τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως Τυπογραφείῳ ἔτει. 1804.

Τȣ̃ Συγγραφέως Στίχοι Ἰαμβικοὶ πρὸς τὸν Ἅγιον.

ΔΕ΄χȣ ταῦτα Μάρτυς εἰς ὕμνον σέθεν,
Ἃ σοι ἄγω νῦν σὸς ποθῶ Ἰωάννης.
Ἀνθ' ὧν δὲ πέμψαις τὴν λύσιν τῶν πταισμάτων,
Δωρέμενός μοι ὕψοθεν θείαν χάριν.

Τȣ̃ αὐτȣ̃ ἕτεροι Στίχοι ὅμοιοι πρὸς τȣ̀ς Ἀναγνώστας.

ΥΜνῳδίαν δὴ Μηνᾶ τȣ̃ Ἀριστέως,
Συνθεῖναι ἔγνων ἐκ πόθȣ τῆς καρδίας,
Θεῖα συνάρτει Μάρτυρος τȣ̃δ' ἄρ ὅλως.
Ἦ, δῆτα νῦν γε χρώμενοι θεοφρόνως,
Ὑμνεῖτε Μηνᾶν τὸν στεφηφόρον πάνυ.
Μεμνημένοι δ' ȣ̃ν εὐτελείας μοι φίλοι,
Ἐν ἀλλοδαπῇ ἐκτελέσης τὸν βίον.
Ἄξοι δὲ πάντας Χριστὸς εἰς μονὰς νόων,
Λιταῖς φαειναῖς Μάρτυρος Μηνᾶ ἄνω.
Δώῃ δὲ πάντως ἀγαθῶν κληρȣχίαν
Ἐκδόντι τύποις δαπανῇ δέλτον γ' ~~ἀδρᾶ~~.

Μηνὶ Δεκεμβρίῳ ιά.

Τȣ̃ ἁγίȣ ἐνδόξȣ Μεγαλομάρτυρος Μηνᾶ τȣ̃ Αἰγυπτίȣ, ἐν τῷ μικρῷ Ἑσπερινῷ. Ἦχος πλβ΄. Τριήμερος ἀνέστης Χριστέ.

ΕΛόμενος τὸ κρεῖττον σοφῶς, τὸ χεῖρον καθυπέταξας, Ἀθλοφόρε Παμμακάριστε Μηνᾶ. διό σε εὐφημȣ̃μεν, τελȣ̃ντές σȣ τὴν θείαν, καὶ θαυμασίαν νῦν πανήγυριν.

Εἰδώλων καταπτύσας βωμȣ̀ς, ἀθέων τὴν ἀπόνοιαν, ἀπελέγξας ὑπερήθλησας Χριστȣ̃. διό σε εὐφημȣ̃μεν, ὡς Μάρτυρα Κυρίȣ, Μηνᾶ θεόφρον ἀξιάγαστε.

Κηρύξας τὸν Χριστὸν Ἀθλητὰ τὸν δόλιον κατήσχυνας, τὴν ἀπάτην ἐκνευρίσας θαυμαστῶς. διὸ τὴν σὴν Παμμάκαρ, μνήμην φαιδρῶς τελȣ̃ντες, τὴν σὴν αἰτȣ́μεθα ἀντίληψιν. Θεοτ.

Παρθένε Θεοτόκε σεμνή. τȣ̀ς δȣ́λȣς σȣ οἰκτείρησον, ἐξελȣ̃σα ἐκ παντοίων πειρασμῶν, Θεόνυμφε Μαρία σὺ γὰρ ἡ προστασία, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον. Ἦχος β΄. Οἶκος τȣ̃ Εὐφραθᾶ.

ΥΜνοις σȣ τὴν φαιδρὰν, ἐπιτελȣ̃μεν μνήμην, Χριστὸν ὑμνȣ̃ντες μάκαρ, τὸν κατὰ τῶν Τυράννων, Μηνᾶ σε ἐνισχύσαντα.

Ποθῶ σȣ τὴν σεπτὴν. πανήγυριν τελȣ̃ντες Μηνᾶ Χριστȣ̃ θεράπων, παντοίας ἐπηρείας τȣ̀ς δȣ́λȣς σȣ ἀπάλλαξον.

Ἔχων πρὸς τὸν Χριστὸν, παῤῥησίαν τρισμάκαρ, ὡς μάρτυς στεφηφόρος, Μηνᾶ πιστῶν προστάτα. ὑπὲρ ἡμῶν ἱκέτευε. Θ.

Δέσποινα ἀγαθή, ἡ μόνη Θεοτόκος, ἡμᾶς τȣ̃ βροτοκτόνȣ ἀπάτης ἐξελȣ̃σα, διάσωσον Θεόνυμφε.

Νῦν ἀπολύεις. Ἀπολυτίκιον. κτ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ...

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ. Ἦχ. ά. Τῶν Οὐρανίων.

ΤὈν ἐν ὑψίσοις δεσπότην, μάκαρ ἐπόθησας Χριςὸν τὸν Βασιλέα, ὑπὲρ γένους ἀνθρώπων, παθόντα καὶ ταφέντα, καὶ ἐκ νεκρῶν ἀνασάντα, τριήμερον. θανεῖν τε Μάρτυς προείλου ὑπὲρ αὐτοῦ ὦ Μηνᾶ Θεομακαριςε.

Ἀσκήσει πρώην τὸ σῶμα Μάρτυς κατέτηξας, εἶθ' οὕτω τῇ ἀθλήσει. καὶ τοῖς πόνοις γενναίως, δοχεῖον ἀνεδείχθης, τοῦ πανουργοῦ, πανοαοίδιμε Πνεύματος. καθικετεύων ῥυσθῆναι τῶν δυσχερῶν, τοὺς πιςῶς, Μηνᾶ τιμῶντάς σε.

Ῥείθροις αἱμάτων γενναῖε τὸν πολυμήχανον μαρτυρικοῖς ποντίσας, τρόπαια νίκης ἦρας, ἀγλάϊσμα Μαρτύρων θεῖε Μηνᾶ. Ὅθεν πίσει τὴν μνήμην σου ἐπιτελοῦντες ὑμνοῦμεν τὸν Ἰησοῦν, τὸν λαμπρόν σε, ἀναδείξαντα.

Ἐν τῷ ςαδίῳ Θεόφρον, σὺ ηὐτομόλησας, ἐλέγξας τῶν ματαίων τὸ ἀσύνετον μάκαρ, κηρύξας δὲ τὸν μόνον Θεὸν τοῦ παντὸς, ἱερεῖον, εὐπρόσδεκτον, αὐτῷ προσήχθης τῷ Ἄνακτι καὶ Θεῷ ὦ Μηνᾶ πιςῶν τὸ καύχημα. Δόξα ἦχος πλά.

ΔΕῦτε φιλεόρτων τὸ σύςημα, δεῦτε εὐσεβῶν ἡ ὁμήγυρις, δεῦτε συμφώνως ἐν ὕμνοις, ὀρθοδόξων τὸ ἄθροισμα. τὴν πανα γίαν τοῦ Μάρτυρος ἑορτὴν, Μηνᾶ τοῦ πανενδόξου ἐκτελοῦντες βοήσωμεν. ὑπερούσιε ὁ Θεὸς ἡμῶν, ὁ τὸν σὸν θεράποντα θαυμαςῶς ἐνισχύσας. πᾶσαν τὴν τῶν δυσμενῶν, καταπαλαῖσαι μανίαν καὶ σέφους παρὰ σοῦ δόξης, τεύξασθαι ἀθανάτου· Λιταῖς αὐτοῦ πανευπροσδέκτοις. ἐλέησον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν

Καὶ νῦν Θεοτοκίον. Εἰς τὴν Λιτήν. Ἦχος ά

ΠΑνένδοξε Μάρτυς Μηνᾶ ἀξιάγαςε, τὸ τῆς σῆς διανοίας εἰλικρινὲς, καὶ τὸ τῆς ψυχῆς σου ἀκίβδηλον, ὁ τῶν ἁπάντων θεασάμενος Κύριος ἐνδιαίτημα αὐτοῦ ἐν σοὶ οἰκήσας ἀπειργάσατο. ὃν ἐκτενῶς μὴ παύσῃ ὑπὲρ ἡμῶν δεόμενος. Ὁ αὐτός.

Τὸν φονευθέντα Μάρτυς, ἐν τῷ καταλύματι, ὑπὸ τοῦ αὐτὸν ξενίσαντος, παραδόξως ὀφθεὶς ὡς ἐξ ὕπνου μὲν ἐκεῖνον διήγειρας. τὸν δὲ πρὸς σωφρονισμὸν μαςίξας, ὀλετῆρα, ἀμφοτέρους σωτηρίας ἠξίωσας. τήν τε καθ' ὁδὸν ἐπικαλεσαμένην σε, τοῦ δεινοῦ γυναῖκα διέσωσας, τὸν ἀσελγῆ σωφρονεῖν ἀπεργασάμενος. καὶ ἡμᾶς πανένδοξε, Μηνᾶ πανοαοίδιμε τῆς τῶν παθῶν, ἀπάλλαξον βεβηλώσεως. καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Ἦχος γ΄.

Τὸν ὑπὸ κάλλους δελεασθέντα, παροψίδος, καὶ ἑαυτόν σου αἱρετίσασθαι προελόμενος, τῆς τοιαύτης θαυμασίως, ὁρμῆς ἀνέσειλας. τὸν δὲ, σὺν τῇ μογιλάλῳ, χωλὸν χαριέντως ἰάσω πανοαοίδιμε, τῷ σῷ ναῷ προσεδρεύοντας καὶ τοὺς ἐν θαλάσσῃ ἐπικαλουμένους σε, ὀξέως διέσωσας Μηνᾶ ἀξιάγαςε διὸ τοὺς ἐκτελοῦντας τὴν ἱεράν σου πανήγυριν, παντὸς κινδύνου ἀπάλλαξον, ταῖς πρὸς Κύριον πρεσβείαις σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Ἦχ. πλβ΄.

ΠανεύφημεἈθλητὰ, Μηνᾶ γενναιότατε Οὐράνιος ἐπὶ γῆς διὰ τῆς ἐναρέτου σου βιοτῆς ὤφθης Ἄγγελος· θαυμάσιος ἐν οὐρανοῖς, διὰ τῆς ἀῤῥήτου δόξης, ἧς παρὰ Θεοῦ ἠξίωσαι. ὡράθης ἄνθρωπος. παῤῥησίαν οὖν Ἅγιε, πρὸς Χριςὸν κεκτημένος. πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Τῷ ἀΰλῳ τοῦ Παντάνακτος θρόνῳ, παριςάμενος, καὶ τοῦ ἀφράςου ἔνθεου, ὑπὲρ ἔννοιαν κάλλους ἐμφορούμενος, σὺν ἀσωμάτοις τὸ ἔνθεον, τῇ ἀσωμάτῳ Τριάδι, προσάγων μελώδημα λίαν ἐμφανῶς ὅσον κρεῖττον, τῇ τῶν γηΐνων ἀποτάξει τὸ Κυρίῳ ἐμφρόνως δουλεῦσαι. θεώμενος, ἱκέτευε Χριςὸν Μηνᾶ Πανσεβάσμιε, τοιαύτην πλουτεῖν ἡμᾶς ἔφεσιν Ὅπως τύχωμεν τῶν αἰωνίων ἀγαθῶν. ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ἦχος β΄.

Σὲ τὸν πανένδοξον Ἀθλητὴν ὑμνοῦντες, Μηνᾶν τὸν ὑπέρλαμπρον, συνελθόντες, ἐν τῷ πανσέπτῳ σου, σήμερον τεμένει, τοὺς θαυμασίους τιμῶμεν, ὑπὲρ Χριςοῦ, οὓς ἔτλης ἀγῶνας, αὐτῷ πρεσβεύ-

σβεύειν δυσωποῦντες, ὑπὲρ ἡμῶν τῷ Σωτῆρι, δωρήσασθαι ἅπασι τὸ μέγα ἔλεος. Δόξα ἦχος πλ. δ'.

ΜΕγάλων σε αὐτουργὸν, ὁ Κύριος θαυμάτων ἀνέδειξε, διὸ ἀδικήσαι, τὸν ἑαυτοῦ ἀνοσίως τολμήσαντα ἑταῖρον ἀδίκως παιδεύσας πρὸς μετάνοιαν ἤγαγες. τὸν δὲ ἀδικούμενον, ἐξ Ἰουδαϊκῆς ζοφώσεως, πρὸς τὸ ὑπέρφωτον τῆς ἀληθείας φάος ὁδηγήσας Ἅγιε ἀμφοτέρους διέσωσας, καὶ θαυμάτων πλήθη ἕτερα ἀπεργασάμενος πανένδοξε Μηνᾶ ἀξιύμνητε περιέποις καὶ ἡμᾶς τοὺς ἐν πίστει σου ἐκτελοῦντας, τὴν πάνσεπτον πανήγυριν.

Καὶ νῦν Θεοτοκ. Εἰς τὸν στίχον. ἦχος δ'. Ἔδωκας.

ΡΟδον ὡς ἀμάραντον, ὀδμαῖς χαρίτων σου ἔνδοξε, εὐωδίας τὰ πέρατα, πληρώσας πανένδοξε. αὐγάζεις ἀνθέως Μηνᾶ Ἀθλοφόρε, καὶ τῶν θαυμάτων ἀστραπαῖς, καταλαμπρύνεις τὸν κόσμον ἅπαντα. διό σου τὴν πανένδοξον, ἐπιτελοῦμεν Πανήγυριν, τὸν Σωτῆρα δοξάζοντες, τὸν λαμπρῶς σε ὑψώσαντα.

Πῦρ καὶ πᾶσαν βάσανον τῶν δυσμενῶν Παναοίδιμε ὡς οὐδὲν ἡγησάμενος, τῷ πόθῳ Πανθαύμαστε, τρωθεὶς τοῦ Δεσπότου Μηνᾶ γενναιόφρον, οὗ ὑπερήθλησας στερρῶς καταπαλαίσας τὸν πολυμήχανον. διό σε μακαρίζομεν, ὡς Ἀθλητὴν γενναιότατον, καὶ προστάτην θερμότατον, ἐκτελοῦντες τὴν μνήμην σου.

Ὤφθης ἐνδιαίτημα, Πνεύματος θείου πανένδοξε, ἀρετῶν ταῖς λαμπρότησι, σοφῶς παναοίδιμε. παριδὼν τὰ τῇδε, Μηνᾶ Θεοκήρυξ, τῶν Οὐρανίων παμφαῶς ἐτύχου Μάρτυς συνὼν τῷ Κτίστῃ σου. διό σου τὴν ὑπέρφωτον πανηγυρίζοντες ἄθλησιν. τὸν Σωτῆρα δοξάζομεν, ὡς Θεὸν Παντοδύναμον. Δόξα ἦχος δ'.

Ἔλαμψεν ἐν κόσμῳ μακάριε, τῶν σῶν δωρημάτων, ἀκτὶς ἡ ὑπέρλαμπρος. κατ' ἀξίαν γὰρ Χριστὸς ὁ Θεὸς, τοῖς ἑαυτοῦ δωρεῖται τὰς χάριτας θεράπουσιν. ὡς οὖν αὐτὸν θαυμασίως δοξάσας, τὸν Κύριον, ἀσκήσει τε, καὶ ἀθλήσει τὰ ἐν Κόσμῳ τερπνὰ ἀντ' οὐδενὸς λογισάμενος, οὕτω παρ' αὐτοῦ, λαμπροτάτων ἐν Οὐρανοῖς

Βρα



βραβείων ἠξιώθης πανένδοξε, αὐτῷ συμβασιλεύων ἀθάνατα. ὃν ἐκτενῶς παναοίδιμε ἱκέτευε ῥύσασθαι ἡμᾶς, παντοίων περιστάσεων, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον. Ἀπολυτίκιον ἦχ. δ'.

ΩΣ τῶν ἀσωμάτων συνόμιλον, καὶ τῶν Ἀθλοφόρων ὁμόσκηνον, συνελθόντες ἐν πίστει Μηνᾶ εὐφημοῦμέν σε, εἰρήνην τῷ κόσμῳ αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτ. Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον Καθίσμ. Μετὰ τὴν α' στιχολογίαν.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

ΜΑρτύρων καλλονὴ, καὶ Ὁσίων τὸ κλέος, Μηνᾶς ὁ θαυμαστὸς, ἱερῶς εὐφημείσθω. ὡς Ἥλιος γὰρ ἔλαμψε, θαυμασίων ταῖς λάμψεσι, καὶ κατηύγασε τὰς τῶν πιστῶν διανοίας. οὗτος σήμερον τοὺς φιλεόρτους προτρέπει εἰς αἶνον τοῦ κτίσαντος. Θ.

Παναχραντε Ἁγνὴ, Παναγία Παρθένε, δυσώπει τὸν Χριστὸν, τὸν ἁπάντων Δεσπότην. αὐτὸν γὰρ ἐκύησας, καὶ ὡς βρέφος ἐθήλασας. ῥῦσαι ἅπαντας, τῆς ἐνεστώσης ἀνάγκης, καὶ τῆς στάσεως, τῶν ἐκλεκτῶν ἀξίωσαι, τοὺς πίστει τιμῶντάς σε.

Μετὰ τὴν β'. στιχολ. ἦχ. δ'. Κατεπλάγη.

ΟΥρανόθεν ἀληθῶς καταλαμφθεὶς θαυματουργὲ, βίον διήνυσας σοφὲ, ἀγγελικὸν ἐπὶ τῆς γῆς, ἐν ταῖς ἐρήμοις ὡς ἄσαρκος βιοτεύων. εἶθ' οὕτως ἀνδρικῶς πρὸς ἀγῶνας χωρεῖς, καὶ πᾶσαν τὴν ἰσχὺν, τοῦ δυσμενοῦς καθελὼν θεοπρεπῶς διήθλησας θεόφρον, Μάρτυς Μηνᾶ ἀξιάγαστε. διὸ τοὺς πίστει σὲ εὐφημοῦντας, πάσης βλάβης ἐκλύτρωσαι. Θεοτοκίον.

Η Παρθένος Μαριὰμ καὶ Θεοτόκος ἀληθῶς, τὰς τῶν ἄνω στρατιὰς, φωταγωγοῦσα θαυμαστῶς, αὐγαζομένη τῷ κάλλει τῷ ἀπροσίτῳ λυτροῦται καὶ ἡμᾶς τῶν ψυχοφθόρων παθῶν, καὶ πάν-

των

των τῶν δεινῶν, ὡς προστασία ἡμῶν. ἣν μετὰ δέους πάντες εὐφημοῦντες εὐσεβοφρόνως βοήσωμεν. Θεοκλήτορ, Ἀγγέλων δόξα τοὺς ἱκέτας περίσωζε. Μετὰ τὸν Πολυέλ. πλ. δ΄. Τὸ προς

Ἀ Παρνησάσθω ἑαυτὸν προδήλως φάσκει ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς καὶ Λόγος, ὁ βουλόμενος τούτῳ ἐπακολουθῆσαι. προθύμως ὅπερ, ὁ μέγας ἐν Ἀθληταῖς, τελέσας πρώην ἀσκήσει Μάρτυς Μηνᾶς, καὶ ἀθλήσει, τὸ δεύτερον, ἐξέλαμψεν ὡς περ Ἀστὴρ φωτίζων τὴν ὑφήλιον, θαυμασίων ταῖς λάμψεσι. Θ.

Ὁ γεννηθεὶς ἐκ τοῦ Πατρὸς συναϊδίως, Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀῤῥήτῳ λόγῳ, σαρκοφόρος ἐν χρόνῳ, ἐκ σοῦ Θεοτόκε, ἐτέχθη ἵνα τὸν κόσμον ὡς ἀγαθὸς, λυτρώσῃ τῆς κακουργίας, τοῦ πτερνιστοῦ. ὧν χαρίτων αἰτίαν σε, γινώσκοντες πανευσεβῶς, ὑμνοῦμεν σε Πανάχραντε, Παναγία Θεόνυμφε.

Οἱ Ἀναβαθμοὶ τὸ α. Ἀντίφ. τοῦ δ. ἤχ. Τὸ Προκείμ. Θαυμαστὸς ὁ Θεός. Εὐαγγέλιον Μαρτυρ. Ὁ Ν΄. Δόξα ἦχ. β΄.

Σ Ἡμερον σκιρτῶσι τῷ Πνεύματι, Ἀθλητῶν, καὶ Ὁσίων, σὺν ἡμῖν τελοῦσαι σου, τὴν μνήμην αἱ χορεῖαι, Μηνᾶ Πανοίδιμε, καὶ ἀσωμάτων τάξεις. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός. Ἦχος β΄.

Ἰ Ησοῦς ὁ Λυτρωτὴς, εἰς Οὐρανοὺς σε ἐκ τῶν γηΐνων, ὕψωσε λαμπρῶς δωρησάμενος Μηνᾶ χάριν σοι ἄφθονον. Σῶσον ὁ Θεός. Ὁ Κανὼν τῆς Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς.

Δέχοιο σεμνὴ τοῦ Ἰωάννου τόδε. Ἦχ. α΄. Ὠιδὴν ἐπινίκ.

Δ Οξάσας ὁ Κύριος σὲ τὴν Παρθένον, Μητέρα ἀνέδειξεν, ὑπὲρ λόγον Ἄχραντε, ὁ ἐπὶ πάντων Θεός. διό σε πάντες εὐσεβῶς ὑμνοῦμεν ᾄσμασιν.

Ἐκύησας Ἄχραντε δεδοξασμένη Θεὸν, τὸν Παντάνακτα Κόρη Πανάσπιλε, εὐλογημένη Ἁγνή. ὃν ἐκτενῶς ὑπὲρ ἡμῶν, ἀεὶ ἱκέτευε

Χειλέων τὴν αἴνεσιν ἐξ ἀναξίων, δεχομένη οἴκτειρον πάντας

Θεο-



Θεόνυμφε τοῦ Ἀθλοφόρου λιταῖς. ὃν ἑορτάζοντες πιστῶς, Ἁγνή σε μέλπομεν.

Ὁ Κύριος Δέσποινα εὐλογημένη, λαμπρῶς ᾑρετίσατο, σὲ ὑπὲρ ἔννοιαν, ὁ σὸς Υἱὸς Ἀγαθή. σὺν τῷ Μηνᾷ οὗ ἐν αὐτὸν ἡμῖν ἱλεώσαι. Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Μηνᾶ πίστει σε προσκυνῶ ὡς προστάτην.

Ἦχος α΄. Χριστὸς γεννᾶται.

Μ Ηνᾶ Μαρτύρων ἀγλάϊσμα, Μηνᾶ τῶν Ἀθλητῶν σεμνολόγημα, Μηνᾶ ἡ ἡμῶν ἀντίληψις, πόθῳ σε εὐφημοῦμεν ὡς νικητὴν, κράζοντες συμφώνως. τοὺς τιμῶντάς σε πιστῶς, σῶζε πρεσβείαις σου.

Ἡ χάρις Μάρτυς τοῦ Πνεύματος, σκηνώσασα ἐν σοὶ Πανοίδιμε. Ἀστέρα λαμπρόν σε ἔδειξε, λάμψαντα ὡς ἀκτίνων μαρμαρυγάς. ὅθεν συνελθόντες, εὐφημοῦμέν σε Μηνᾶ, ὡς Θεοκήρυκα.

Ναὸς ἐγένου Θεόληπτε. Θεοῦ πανευπρεπὴς, ἀξιάγαστε, Μηνᾶ Ἀθλητὰ μακάριε, ἅπαντες ἐκτελοῦμεν χαρμονικῶς, σοῦ τὴν θείαν μνήμην, τῶν πταισμάτων ἱλασμὸν ἀντιλαμβάνοντες. Θ.

Ἁγνὴ Παρθένε Θεόνυμφε. Σεμνὴ Ὑπεραγία Πανάμωμε, σεπτὸν τοῦ Θεοῦ παλάτιον, πόθῳ σε προσκυνοῦμεν χρεωστικῶς, κράζοντες Κυρία. σὺ ἐλπὶς μετὰ Θεὸν, ἁπάντων πέφυκας.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Ἰαμβικ. ἦχ. α΄. Ἔσωσε λαόν.

Π Ελεις φαεινὸς, Μαρτύρων ὡραιότης,
Μηνᾶ Θεόφρον, εὐσεβῶν ὁ προστάτης,
Ἡμῶν Ἀρωγὲ, τὸ κλέος τὸ παμφαές,
Πάντων ἄριστε, Ὀρθοδοξίας κράτος,
Πόθῳ σ᾽ ἅπαντες προσκυνοῦμεν, παμμάκαρ.

Ὅλως φεραυγὴς, λάμψεσι τῶν κρειττόνων,
Τελῶν ἐπέστης, τοῖς Θεὸν μὴ εἰδόσι.
Λαμπρῶς δὲ αὐτοῖς, ὦκα ἐμφήνας σοφὲ,
Πάντων Ἄνακτα, Χριστὸν ὄντα τὸν μόνον,

Ὄν-

Ὄντως κραταιὸν, καὶ Θεὸν καὶ Δεσπότην.
Ὕδειν τε λαμπρῶς σμήνος αἰὲν παμμάκαρ.
Μηνᾶ ὀφείλει. τὸ βρότειον συντόνως.
Σφοδρῶς γὰρ αὐτὸς, κάββαλες τοὺς δυσμενεῖς.
Πόλου δ᾽ ἄνω νῦν, τυγχάνεις ὑπερκύδας.
Σέθεν σάωσον, ταῖς λιταῖς, πάντας ταχος. Θεοτ.
Ἄνασσα Σεμνὴ, Παρθένε τρόμῳ ἅπας.
Βροτὸς γεραίρει, ἐκ μυχοῦ τῆς καρδίας,
Ῥυσθεὶς κακίστης σκαιότητος τοῦ πλάνου,
Κόρη Πάναγνε, Ἀγγέλων ἡ λαμπρότης.
Πόθῳ σε αἰὲν εὐλογοῦμεν Κυρία.

'Ωδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

Ἱκετηρίαν σοὶ προσάγομεν, ἀγαλλόμενοι ἅπαντες Δέσποινα· σὺ γὰρ τὸ καύχημα ἡμῶν, Παναγία Θεόνυμφε. σὺν Μηνᾷ τῷ Ἀθλοφόρῳ τὸν Χριστὸν καθικέτευε.
Ὁ τῶν αἰώνων Κόρη Κύριος, λαμπροτέραν πάσης τῆς κτίσεως, σὲ θεασάμενος Ἁγνὴ, ἡρετίσατο Ἄχραντε. ὃν μετὰ τοῦ Ἀθλοφόρου, ὑπὲρ πάντων ἱκέτευε.
Σὲ οἱ προφῆται προκατήγγειλαν Παναγία Ἄχραντε Δέσποινα, Θεοῦ Μητέρα ἀληθῆ, Οὐρανοῦ ἀνωτέραν τε. ὑπὲρ πάντων οὖν Κυρία, σὺν Μηνᾷ καθικέτευε.
Εὐλογημένη Κόρη πέφυκας τὸν Θεὸν γὰρ μόνη ἐκύησας, Ὑπεραγία ἀληθῶς, Παναγία Θεόνυμφε. ὃν ἱκέτευε Μαρία, σὺν Μηνᾷ τῷ Θεόφρονι.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Πάντων πρὸ αἰώνων, οὓς προέγνω ὁ πάντα θεώμενος, τούτους προώρισεν ἐνθέως καὶ ἐδόξασε πάνυ, Χριστὸς ὁ Θεὸς πανένδοξε. ὧν σὺ ὑπάρχων Μηνᾶ παμφαὴς, παρ᾽ αὐτοῦ δεδόξασαι.
Ἵλεως σοῖς δούλοις, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ παντέλειος, διὰ τοῦ σοῦ σεπτοῦ οἰκέτου, γίνου πᾶσιν οἰκτίρμων, Μηνᾶ μόνε ὑπεράγαθε καὶ

τῶν



τῶν κινδύνων ἡμᾶς ἐξελῶν. σῶσον τῷ ἐλέει σου.
Σάλου τρικυμίας καὶ παθῶν ἀτιμίας ἀπάλλαξον, ἡμᾶς πανένδοξε, προστάτα. Ἀθλητὰ γενναιόφρον. Μηνᾶ εὐσεβῶν κραταίωμα. σὺ γὰρ μεγίστην πλουτεῖς πρὸς Χριστὸν, παῤῥησίαν ἔνδοξε.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων, ὡς Βασίλισσαν πάντων ὑμνοῦσι σε, καὶ εὐφημοῦσιν ἀσιγήτως. ὑπερένδοξε Κόρη. σὺ γὰρ τούτους κατελάμπρυνας, τῷ τοκετῷ σου Ἁγνὴ θαυμαστῶς, ὑπὲρ λόγον Ἄχραντε.

Ἄλλος. Νεῦσον πρὸς ὕμνους.

Νεῦσον πρὸς ὕμνον, εὐσεβῶν, Μηνᾶ μάκαρ,
Λαμπρῶς φεραυγεῖ, τοῦ μέδοντος Οὐρανῶν,
Θρόνῳ παρεστὼς. πᾶσι τοῖς Ἀρχαγγέλοις,
Θραῦσον βέλει, τάχιστα τοῦ βροτοκτόνου,
Ῥῦσαι ἀπειλῶν, πάντας ἐχθίστων τάχος.
Ἔχων γὰρ ὄντως, πρὸς Θεὸν παῤῥησίαν,
Μηνᾶ γεγηθὼς, σὺ πρὸς αὐτὸν παμφαῶς,
Ἔσπευσας, ὥστις μάρτυς, ἄϋλος πάνυ.
Ἤθλησας ὡς γενναῖος, εὐτόνως ἄγαν.
Μέροψ ὅθεν νῦν, πᾶς σὲ ὑμνεῖ ἐκ πόθου.
Στόνιο ῥῦσαι. τῆς τε σίντου μανίας,
Μηνᾶ ταπεινῶν, τὰ θράση τῶν δυσμενῶν,
Ὕψωσον ὅπλα, Μάρτυς ὀρθοδοξίας,
Θραῦσον τάχιστα. ἔκφυλον κακουργίαν,
Πόλου ἄειρε, εἰς φάος πάντας μακαρ.

Θεοτοκίον.

Τεκοῦσαν ὥσπερ τοῦ μέδοντος τῶν ὅλων,
Αἰνεῖ σε Ἁγνὴ, χεῖλος ἐκ πόθου βροτῶν·
Τάξις δὲ οὕτω, πᾶσα τῶν ἀσωμάτων,
Κόρη σὲ ὄντως, ὡς Ἄνασσαν τῶν ὅλων,
Ἄχραντε ὑμνεῖ, Οὐρανῶν πλατυτέρα.

Καθι-

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὑμνοῦμεν τὸν Χριστὸν, τὸν Θεὸν τῶν ἁπάντων, ἡμῖν τὸν θαυμαστὸν, Ἀθλητὴν παρασχόντα θερμὸν ἀντιλήπτορα, καὶ προστάτην καὶ πρόμαχον. οὗ τὴν ἄθλησιν νῦν εὐφημοῦντες βοῶμεν. σῶσον εὔσπλαγχνε, ἡμᾶς ὡς μόνος Οἰκτίρμων, Μηνᾶ ταῖς ἐντεύξεσι.

Θεοτοκίον.

Παντάνασσα Σεμνὴ, Παναγία Παρθένε, Ἀγγέλων χαρμονὴ, καὶ βροτῶν σωτηρία, Θεὸν σωματώσασα, μὴ ἐκστάντα Θεότητος. καθικέτευε, ὡς ὑπεράγαθον μόνον, ῥῦσαι ἅπαντας τῆς ἐνεστώσης ἀνάγκης, καὶ πάσης κακώσεως.

Ὠδὴ δ΄. Ἐν Πνεύματι προβλέπων.

Μητέρα σε τοῦ κτίστου, γεννήτρια Θεοῦ, γινώσκοντες ὑμνοῦμεν ἀεί σε Ἀγαθὴ, μετὰ Μηνᾶ Παρθένε τοῦ Ἀθλοφόρου, τὸν σὸν Υἱὸν καθικέτευε Μαρία, πάντας λυτρωθῆναι κολάσεως.

Νόες τε ἀσώματοι, ἀΰλων στρατιὰ, ὑμνοῦσι σε Δέσποινα, ὡς θρόνον τοῦ Θεοῦ· μεθ᾽ ὧν τὸν κτίστην, Παρθένε, καὶ Ἀθλοφόρων, μετὰ Μηνᾶ καθικέτευε Κυρία, πάντας τοῦ ῥυσθῆναι κακώσεων.

Ἡ πάντας τῇ κυήσει σου, λυτρώσασα φθορᾶς, σὺ πέλεις Παναχραντε Κυρία τοῦ παντός. διό σε πάντες ἐκ πόθου ὑμνολογοῦμεν, μετὰ Μηνᾶ καθικέτευε τὸν κτίστην, λυτρωθῆναι πάντας κολάσεως.

Τὸν Κύριον τῆς δόξης, Θεὸν τὸν Ἀγαθὸν, τὸν μόνον Παντάνακτα, ἐκύησας Ἁγνὴ, ὡς πρὸ τοῦ τόκου, καὶ μετὰ τόκον Παρθένος, μείνασα Κόρη. ὃν δυσώπει οἰκτειρῆσαι, ἅπαντας Μηνᾶ ταῖς ἐντεύξεσι.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ἔστης παρανόμου δικαστῶν πρὸ βήματος μακάριε, Χριστὸν κηρύττων Πανἀοίδιμε, τὸν μόνον δημιουργὸν, Θεὸν παντοδύναμον, πᾶσαν ἀντιπάλων κακουργίαν, καθεῖλες νεανικῶς, ἔνδοξε Μηνᾶ ὡς ἀήττητος.

Ἰδών σου Θεὸς τὸ εὐγενὲς, ψυχῆς τε τὸ λαμπρότατον, ἐκ τῶν

τοῦ



τοῦ κόσμου ἐξελέξατο, λαβών σε εἰς Οὐρανοὺς, μαρτυρίου στίγμασιν. ᾧ νῦν παριστάμενος ἐν δόξῃ, ἱκέτευε ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων σε Ἅγιε.

Πάντες οἱ πιστοὶ χαρμονικῶς, ὑμνοῦμεν σε πανόλβιε, ὡς ἀντιπάλων κατησχύναντα, τὸ θράσος τὸ δυσμενὲς, ἀηττήτῳ χάριτι μόνου τοῦ Δεσπότου τῶν ἁπάντων. ὃν ἐκδυσώπει ἀεὶ ὑπὲρ τῶν τελούντων τὴν μνήμην σου.

Θεοτοκίον.

Ῥόδον σε εὑρὼν ὁ Πλαστουργὸς, καὶ ἄνθος εὐωδέστατον, πρὸ τῶν αἰώνων ἡρετίσατο εἰς κατοικίαν αὐτοῦ, μόνος ὡς ηὐδόκησε. ὃν νῦν ὡς Υἱόν σου καὶ Δεσπότην, δυσώπει ὡς ἀγαθὸν, σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Ἄλλος. Γόνους βροτείου.

Γένους βροτείου, ἀντιλήπτωρ παμμάκαρ,
Πέλων, τελοῦντας τὴν πανένδοξον Πάτερ.
Σεπτὴν Θεόφρον, ἡμέραν σου, κινδύνων,
Ῥῦσαι Φαεινὲ μάρτυς ἐν τάχει ὅπως,
Μηνᾶ σε αἰὲν, προσκυνοῦμεν συντόνως.

Νόες γενναῖε τῶν ἀσωμάτων πάνυ,
Τὴν σεῖο πάντες, καρτερὰν τὴν πρὸς πόνους,
Ὕμνησαν ὄντως, ἔνστασιν γεγηθότες,
Μέδοντι πάντων, προσφέροντες ἐκθύμως,
Ὕμνους Φαεινοὺς ὡς κραταιῷ προσφόρως.

Ῥαδαμνος ὤφθης, εὐσεβείας τρισμάκαρ,
Μηνᾶ Θεόφρον, ὄρχαμος μέγας πέλων.
Ἡμᾶς σαώζοις, ἐκτελοῦντας, σὺν πόθῳ,
Ἔνδοξον ὄντως, φαιδροτάτην ἡμέραν,
Φῶς ὡς φεραυγὴς, παστάδος τῆς ἐνθέου.

Θεοτ.

Πάναγνε Μῆτερ, Δημιουργοῦ τῶν ὅλων,
Ὄντως μεγίστων, πραγμάτων ὑπερτάτων,
Σεμνὴ δεόντως, ἠξιώθης Παρθένε,
Τεκοῦσα Ἁγνὴ, τὸν Θεὸν Παναγία.

Τα-

Τάξις σε πιςῶν, εὐλογεῖ σὺν Ἀγγέλοις.

Ὠδὴ ε'. Τὸ Φαεινὸν ἡμῖν ἐξανάτειλον.

Ο Μόνος ἄναρχος ἢ ἀΐδιος, σὲ ᾑρετίσατο. ὃν προσκυνοῦντες ἀνυμνοῦμέν σε, Παρθενομῆτορ. μετὰ Μηνᾶ πρέσβευε, σωθῆναι τοὺς δούλους σου.

Ὑμνολογοῦμέν σε τὴν ἀνάχραντον Κόρην Θεόνυμφε, τὴν σωματώσασαν τὸν Κύριον ἀῤῥήτῳ λόγῳ. σὺν Μηνᾶ, ὑπὲρ πάντων, τούτῳ πρέσβευε.

Ἱκετηρίας τῶν ἀνυμνούντων σε, Ἄχραντε Δέσποινα, προσηκαμένη, ἐκ τῶν ὑψίςων, ἅπαντας οἴκτειρον, Μηνᾶ ταῖς ἐντεύξεσιν.

Ὡς ὑπερένδοξος Ἀειπαρθένε, ἁπάντων Ἄνασσα, ῥῦσαι γεέννης, τοὺς οἰκέτας σου, Μηνᾶ ταῖς δεήσεσιν.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Ὁσίως τὸν πόθον, Μηνᾶ πρὸς Θεὸν, ἐσχηκὼς ἐπὶ γῆς, ὥσπερ Ἄγγελος ἐβίωσας πανεύφημε, εἰς ὅρος ἀνιών. εἶτα τοῦ μαρτυρίου πρὸς ἀγῶνας θεόφρον, δραμὼν ὑπερήθλησας, τοῦ Δεσπότου ἀξιάγαςε.

Σὲ πάντες προςάτην πλουτοῦμεν Μηνᾶ, πρὸς Θεὸν ὃν δυσώπει δωρήσασθαι, συγγνώμην παραπτώσεων, ἢ πάντων δυσχερῶν, λύσιν, ἢ σωτηρίαν, ὡς Φιλάγαθος Μάρτυς, ἵνα πίςει ἔνδοξε. ὑμνολογοῦντές σε γεραίρωμεν.

Κωφοὺς μογιλάλους ἰάσω Μηνᾶ, τῷ τεμένει τῷ σῷ προσεδρεύοντας, νεκρόν τε ἐξανέςησας ὀφθεὶς θαυματουργὲ, ἔνθα ὁ νεκρὸς ἔςη εἰς λεπτὰ τετμημένος ἢ τύψας τὸν κτείναντα, ἀμφοτέρων Σωτὴρ πέφυκας. Θεοτοκίον.

Ὑμνοῦμέν σε Κόρη Παρθένε Ἁγνὴ, ὡς Μητέρα Θεοῦ ὑπερένδοξον, δοξάζοντες τὸν τόκον σου, ὡς μόνον κραταιὸν, ῥυσάμενον τοὺς πάντας, τῶν τοῦ ᾅδου κευθμώνων. ὃν ἀεὶ ἱκέτευε οἰκτειρῆσαι ἡμᾶς Δέσποινα. Ἄλλος. Ἐκ νυκτὸς ἔργων.

Ὁρῶντές σ' ἤδη, οἱ βεβυσμένοι πλάνῃ,

Φαει-



φεινὸν, αὐτοῖς, Χριςὸν ὡς πάντων ἄγαν,
Φάσκοντα εἶναι, πανσθενουργὸν ἢ μόνον,
Πλάςην πέλοντα ἢ ἁπάντων Δεσπότην,
Εἰς θάμβος ἠνέχθησαν, ἐξεςηκότες.

Ὄρφνης ζοφώδους, βορβορώδους ἀχλύος,
Ἱλασμὸς ἡμῖν, ἀμπλακημάτων λύσις,
Μηνᾶ τάχιςα, σαῖς λιταῖς, πᾶσιν γίνου,
Πόθῳ τελοῦσι, τὴν ἑορτὴν, τὴν σέθεν,
Δι' ἧς τύχοιμεν, αἰὲν εὐκλείας ἄνω.

Δεινοὺς κακίςου, ἢ ἄτης ἀναρσίων,
Λύμης τε δεινῆς, ἀρθρικῶν ἀλγηδόνων,
Φρίκης πανώλους, ἢ γεέννης ἀτρόμου,
Πάσης τάχιςα, ἀπροόπτου μανίας,
Φέριςε λύτρου, πάντας ὡς Φάος μάκαρ. Θεοτ.

Γόνους σὺ ὄντως, τοῦ βροτείου Παρθένε,
Φωτισμὸς Ἁγνὴ, ἀκτὺς εὐκλεεςάτη,
Πέλεις Μαρία, ἢ Χερουβὶμ λαμπρότης,
Κόρη Σεραφὶμ, πάμπαν Ἁγιωτέρα,
Ἐκ σοῦ κατηυγάσθησαν, οἱ νόες λίαν.

Ὠδὴ ς'. Τὸν Προφήτην Ἰωνᾶν.

Ἀνυμνοῦμεν οἱ πιςοὶ, ὡς Μητέρα σε Θεοῦ, ὑπερένδοξε Ἁγνὴ Παναγία ἀληθῶς, κραυγάζοντες, σῶσον τὸν Κόσμον, λιταῖς τοῦ Μάρτυρος.

Νῦν ἐπέφανεν ἡμῖν, ἡ Φωσφόρος ἑορτὴ, Ἀθλοφόρου τοῦ Χριςοῦ, τοῦ Μηνᾶ πανευκλεῶς. μεθ' οὗ Ἁγνὴ, ὑμνολογοῦντες σὲ μεγαλύνομεν.

Νόες Κόρη Μαριὰμ, ὡς Μητέρα σε Θεοῦ, εὐφημοῦσι παμφαῶς προσκυνοῦντές σε σεπτῶς Πανάχραντε. οἴκτειρον πάντας λιταῖς τοῦ Μάρτυρος.

Ὁ τῶν ὅλων Βασιλεὺς, τῶν ἁπάντων πλαςουργὸς, σάρκα εἴληφεν

λῆΦον ἐκ σοῦ, Μαριὰμ ὑπερΦυῶς. ὃν ἐκδυσώπει, σωθῆναι ἅπαντας. Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Νίκης σε Χρισὸς, σεΦάνοις ἐσέψατο, Μηνᾶ δυσμενεῖς καταπαλαίσαντα, ϗ ῥυσάμενον, τῆς αὐτῶν κακεργίας, ὡς Μάρτυς σεῤῥὸς, τοὺς λαοὺς μετ' εὐΦροσύνης ἀνακράζοντας, σύ μου εἶ Χρισὲ κραταίωμα, ὁ τὸ πᾶν συστησάμενος νεύματι.

Ὥσπερ ἀστραπὴ, ἐν ζόΦῳ κατέλαμψεν, ἡ χάρις τῶν σῶν ῥημάτων ἔνδοξε, ϗ ἐΦώτισε τοὺς ἐν σκότει ἀγνοίας τελοῦντας τὸ πρὶν, τῷ Φωτὶ προσαγαγοῦσα ἐνθεώτατα, κράζοντας Μηνᾶ θαυμάσιε, σὺ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Ὥστις καρτερὸς Ἀδάμας σεῤῥότατος, σὺ ὤΦθης Μηνᾶ καταξαινόμενος, ϗ Φλεγόμενος, ταῖς λαμπάσι, ϗ πᾶσι μαστίγων δεινοῖς. τὸ θαυμάσιον Χρισοῦ, ϗ θεῖον ὄνομα, κράζων τὰς ὀδύνας ἔνδοξε, ὡς οὐδὲν ἐλογίσω θαυμάσιε. Θεοτ.

Σῶσον τοὺς πισοὺς Ἁγνὴ παμμακάριστε, ἐκ πόθου ἀεὶ δοξολογοῦντάς σε. ϗ ἀπάλλαξον, τῶν κινδύνων, ϗ πάσης Ἁγνὴ προσβολῆς. ϗ Φωτὸς τοῦ ἀνεσπέρου καταξίωσον, πισοὶ Παναγία ᾄδοντας. Θεοτόκε Παρθένε ὑμνοῦμέν σε.

Ἄλλος. Ναίων Ἰωνᾶς.

Σπεύσαις με Μηνᾶ, ἐκ βυθοῦ κακεργίας,
Καὶ νῦν σαῶσαι, τῆς ἐνεςώσης ἄτης.
Σὲ γὰρ Φαεινὲ, ἄλκιμον σχοίνην μέγαν,
Σεπτὸν Φεραυγῆ, λαμπρότατον προστάτην,
Ὅπως σε ὕμνοις, εὐλογῶ πισῶς μάκαρ.
Λάμψας Φαεινῶς, τῇ βιωτῇ παμμάκαρ,
Σεμνῇ πρεπόντως, Ἄγγελος τις εἰς ὄρος,
ΣοΦῶς δὲ Μηνᾶ Μαρτυρικῷ τῷ τέλει.
Λαμπρῶς ἐπελθὼν, σκηνὰς εἰς Οὐρανίους,
ὬΦθης ΘεόΦρον, λαμπρότης τῶν Μαρτύρων.
Νέων τε πληθὺς, ϗ γεραιτέρων ἅμα,

Μη-



Μηνᾶ δεόντως, προσκυνοῦσι τὴν σέθεν.
Σεπτὴν Φεραυγῆ, νῦν ἑορτὴν ἐκ πόθου,
Δεινῆς τάχιστα, ἐκλυτρουμένη ἄτης,
Πισοὶ μολοῦσα, εἰς σεπτὸν σηκὸν τάχος. Θεοτ.
ΝύμΦη τε Πατρὸς, τοῦ τε Υἱοῦ Παρθένε,
Μήτηρ γὰρ ὄντως, ὠράθης ὑπὲρ λόγον.
Σκηνῶσαν ἐν σοὶ, Πνεῦμα ῥέξε προσΦόρως.
Λαμπρὸν Φεραυγῆ, τοῦ Θεοῦ λόγου, Κόρη.
Σκήνωμα σεπτὸν ϗ θρόνον αὐτοῦ μόνην.

Κοντάκιον ἦχος δ'. ἘπεΦάνης σήμερον.

Ἑορτὴ πανεύσημος τοῦ ἈθλοΦόρου νῦν ἐπέστη ἅπαντας καταΦωτίζουσα βοᾶν, Μάρτυς Μηνᾶ ἀξιάγαστε. τοὺς σὲ ὑμνοῦντας συντήρει θαυμάσιε.

Ὁ Οἶκος.

Τῷ, πάντων πρυτάνει Θεῷ ϗ Βασιλεῖ τῶν ὅλων, δέει προσπίπτω ἐκζητῶν δωρήσασθαί μοι λόγον. τὸν πανένδοξον αἰνέσαι Ἀθλητὴν Μηνᾶν τὸν ἀεισέβαστον. ὃ αὐτὸς λαμπρῶς ἐν οὐρανῷ τε ἐδόξασε ϗ ἐν γῇ χάρισιν αὐτὸν καθωραΐσας ἐνθέοις ὅντινα ἅπαντες ἐν τῷ σεπτῷ αὐτοῦ ὑμνολογοῦντες τιμῶμεν, κράζομεν εὐσεβοΦρόνως τοὺς σὲ ὑμνοῦντας συντήρει θαυμάσιε.

Τῷ αὐτῷ Μηνὶ ΙΑ'. Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Μηνᾶ τοῦ Αἰγυπτίου. Στίχοι.

Ἀπῆρας ὄντως εἰς μονὰς τῶν Μαρτύρων,
Γῆθεν ΘεόΦρον ὡραϊσμένος πόνοις.
Ἑνδεκάτῃ δὲ, ἄειραν ἄνω νόες ᾤκισε Μηνᾶ.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ στρατευόμενος ἐν τοῖς Νουμέροις τοῖς λεγομένοις Ῥουταλικοῖς ὑπ' Ἀργυρίσκῳ Ἡγεμόνι ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας. Μὴ ἀνεχόμενος δὲ καθορᾶν τὴν τῶν Εἰδώλων πλάνην παῤῥησιαζομένην, εἰς τὸ Ὄρος ἀνῆλθε, νηστείαις ἑαυτὸν καθαίρων ϗ προσευχαῖς.

F

χαῖς. Ἱκανῶς δὲ στομώσας ἑαυτὸν, καὶ τῷ θείῳ πόθῳ Χριστοῦ τὴν ψυχὴν ἀναφλέξας, ἐκ τοῦ Ὄρους κατῆλθε. Καὶ στὰς ἐν μέσῳ τῶν Εἰδωλολατρῶν, τὸν Χριστὸν ἀνεκήρυξεν. Ὅθεν αἰκισθεὶς, καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας καταξανθεὶς, καὶ καυστῆρσι προσομιλήσας πυρὸς, καὶ τριβόλοις, ἐν τῷ ἀφειδῶς ἕλκεσθαι ἀπαντ[illegible] τὴν διὰ ξίφους δέχεται τελευτήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Βίκτωρος καὶ Βικεντίου, καὶ τοῦ Ἁγίου Πατρὸς ἡμῶν Θεοδώρου Ἡγουμένου τοῦ Στουδίτου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ζ'. Ἡ κάμινος Σωτὴρ ἐδροσίζετο.

Ὑμνήσωμεν τὴν Ἄχραντον Δέσποιναν, τὴν μόνην τὸν Θεὸν σωματώσασαν. οἰκτείρει γὰρ τὸν κόσμον, Ἀθλητοῦ ταῖς δεήσεσι.

Τὴν μόνην Παρθενίαν τηρήσασαν, τεκοῦσαν τὸν παντάνακτα Κύριον, ὑμνήσωμεν βοῶντες. ἡμᾶς σῶσον τῷ ἐλέει σου.

Ὁ μόνος παντοκράτωρ προείλετο, Μητέρα ἀναδεῖξαι σε πάναγνον, ὑπὲρ ἔννοιαν καὶ λόγον. ὃν ἡμῖν ἐξιλέωσαι.

Δοχεῖον τοῦ Ὑψίστου ὑπάρξασα, οἰκτείρησον τοὺς πίστει ὑμνοῦντάς σε, λιταῖς τοῦ Ἀθλοφόρου, Παναγία Μητροπάρθενε.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Πόδας σου στηρίξας Θεομάκαρ, φαεινῇ κελεύσει τοῦ δεσπόζοντος, πυρὸς ἀπειλὴν οὐκ ἐδειλίασας, ἀλλ' ἐν μέσῳ τῶν δεινῶν Μηνᾶ ἐκραύγαζες. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ῥύσει τοῦ σοῦ αἵματος Θεόφρον, δυσσεβῶν ὠμότητα ἐπόντισας. δεινῶν τὸ σφοδρὸν μὴ πτύξας ἔνδοξε. ἀλλ' ἀνδρείως ἐνεγκὼν Μηνᾶ ἐκραύγαζες. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὁ ἔρως ὁ πρὸς Χριστόν σου Μάρτυς ὄντως, μιαρῶν καθεῖλε τὴν κακόνοιαν θυμὸν ἀσεβῶν κατασεισάμενος, καὶ γενναίως σε Μηνᾶ κραυγάζειν ἔτρεπεν. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Σωτῆ-



Σωτῆρα τετοκυῖα καὶ Δεσπότην, τῆς ἀρᾶς Πανάχραντε ἀπήλλαξας, πυρός τε ἀλήκτου τὸ ἀνθρώπινον. ὅθεν πάντες ἀνυμνοῦμέν σε κραυγάζοντες, ῥῦσαι τοὺς πάντας Ἁγνὴ εὐλογημένη.

Ἄλλος. Τῷ Παντάνακτος.

Τοῦ Παντάνακτος, τῇ κελεύσει ἐμφρόνως,
Βούλημα σὸν, τάχιστα ἔκλινας πόθῳ.
Ὅθεν Θεόφρον, εἰς πέρας ταύτην τάχος,
Ἐνέγκας οὕτως, Οὐράνιος παμμάκαρ,
Πέφυκας, εἰς αἰῶνας εὐλογημένος.
Ἑστὼς Ἄριστος, τοῖς ἀγῶσιν ἐμφρόνως,
Νέμοντι ἰσχὺν ὡς δέον σοι Παμμάκαρ,
Σὺ εὐχαρίστως, ἦγες ὕμνους εἰκότως,
Μηνᾶ φαεινῶς, καββαλὼν ἀεικέων,
Βέβηλον ἀλκὴν, τῶν τε ἐχθίστων θράσος.
Τὴν πανσέβαστον, σεῖο Μάρτυς ἐνθέως,
Ἅπαντας, ὦ Ἄριστε ὑμνοῦντας πόθῳ,
Μνήμην, σὺ λύτρου, ταῤῥοθος μέγας πέλων,
Λύμης τε αἰὲν, καὶ ἄτης Ἀναρσίων,
Κράζοντας εἰς αἰῶνας τυγχάνεις φάος. Θεοτ.
Μῆτερ Ἄνανδρε, τοῦ μέδοντος τῶν ὅλων,
Κόρη Πάναγνε, Οὐρανῶν ἀνωτέρα,
Ἄνασσα πάντων, τοῦ Θεοῦ σε χωρίον,
Εὔκλεια Σεμνὴ, τάξεων τῶν ἀΰλων,
Ἄχραντε εἰς αἰῶνας ὑμνοῦμεν πόθῳ.

Ὠδὴ η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Εὐφραίνεται Δέσποινα φαιδρῶς ὁ οὐρανὸς, καὶ ἡ γῆ συναγάλλεται, ἐν σοὶ θεοπρεπῶς ὁρῶντά σε Κόρη τεκοῦσαν Θεόν. ὃν ἀεὶ δυσώπει μετὰ τοῦ Ἀθλοφόρου.

Ἀγγέλων τὰ τάγματα, Ἁγίων οἱ χοροὶ, Δικαίων τὰ Πνεύματα. καὶ πάντες γηγενεῖς, ὑμνοῦσί σε πόθῳ, Μαρία Ἁγνή.

ῥῦσαι

ῥῦσαι τὰς σὰς δούλους, Μηνᾶ ταῖς ἱκεσίαις.

Ἀγγέλων εὐπρέπεια, ἀνθρώπων χαρμονὴ Κυρία Παναμώμε, καλὴ ἐν γυναιξὶν οἰκτείρησον πάντας, Ἀθλητοῦ ταῖς λιταῖς πάντα δυναμένη ὡς Μήτηρ τοῦ Ὑψίστου.

Τίς Ἄχραντε Δέσποινα ὑμνήσειεν ὡς δεῖ τὴν μόνην σε Πάναγνον, Μητέρα τοῦ Θεοῦ; οὔτε Ἀγγέλων τὰ τάγματα, καὶ Ἁγίων διὸ ῥῦσαι πάντας, λιταῖς τοῦ Ἀθλοφόρου.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Τάξεις Οὐρανίων στρατευμάτων, ὑπεδέξαντο ἔνδοξε Μάρτυς σὲ ἐν τοῖς σκηνώμασι τοῖς ἀΰλοις ὡς τὴν αὐτῶν βιοτὴν ἐπὶ τῆς γῆς πολιτευσάμενον διό σε Μηνᾶ τιμῶντες ψάλλομεν. Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἅπασαι τῶν εὐσεβῶν χοροστασίαι, γεγηθότως ὑμνοῦμεν Θεόφρον, τὴν σεπτήν σου ἄθλησιν, δι' ἧς Μάρτυς εἰς Οὐρανοὺς ἀνελήλυθας Παμμάκαρ εὐφραινόμενος. διό σε Μηνᾶ τιμῶντες κράζομεν. Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Τέμενος τὸ σὸν Μάρτυς Κυρίου, ὡς Παράδεισος ἄλλος ἐδείχθη μέλπον γὰρ τὸν Κύριον, πᾶν τὸ πλῆθος τῶν εὐσεβῶν, ἐν αὐτῷ σε μακαρίζει Πανοαοίδιμε, κραυγάζον σὺν Ἀγγέλοις Μηνᾶ ἔνδοξε. Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ἥλιον τὸν νοητὸν Παρθενομῆτορ, ἀπεκύησας κόσμῳ Μαρία. καὶ βροτῶν τὸ φύραμα, ἐκ τοῦ ᾅδου τῶν ζοφερῶν εἰς Οὐράνια ἀνήγαγες σκηνώματα. διό σε πιστῶς ὑμνοῦμεν κράζοντες. Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Ἄλλος. Μήτραν ἀφλέκτως.

Ἥκες γενναῖος, ὡς λέων Μηνᾶ μάκαρ,
Ἐν τοῖς ἀγῶσι, λαμπρὰν ἔνστασιν φέρων.

Ὑπερ-



Ὑπερφυῶς ὤν, τοῦ [...]του κακεργίαν,
Λίαν καθεῖλες, Μαρτύρων ἡ λαμπρότης,
Ὄχλον τ' εἰς ὕμνον ἤγαγες Θεοῦ ἄφαρ,
Λύσσαν Τυρά[ννων] καὶ ἀπέχθειαν πάνυ,
Ὤκιστα Μηνᾶ, κάββαλε τῆμος μάκαρ,
Πίστιν Φαεινὲ, τοῦ Θεοῦ καὶ Δεσπότου;
Ὄντως τρανώσας, ηὔγασας δίκην φάους,
Λαοὺς σαώσας, τῆς παλαμναίου πλάνης.
Εὔσημος ὄντως, σεῖο αἰγλεὶς πέλει,
Ὀρτὴ πρὸς ἡμῶν, φαῦσιν ἔνθεον μάκαρ,
Ὑπερφυῶς, ἄγουσαν εἰς Οὐρανίους,
Οἴκους τελοῦντας ἐκ πόθου ταύτην Πάτερ.
Μηνᾶ Φαεινὲ, εὐσεβῶν ὁ προστάτης. Θεοτ.
Νόες τε οὔτως ἰσχύουσιν οὐδόλως,
Αἰνεῖν σε ὡς σοὶ, εἰκὸς ἐστὶ Παρθένε.
Πῶς δὲ βρότειος ἔξεσαι ἂν τοῦτο φύτλη,
Δέσποινα κόσμου; ἀνθ' ὅτου πάντας ῥύε,
Δῶρον πρὸς αἶνον, σεῖο Ἁγνὴ εἰς πέρας.

Ὠδὴ θ'. Τὴν φωτοφόρον Νεφέλην.

Ἡ Χερουβὶμ Ὑπερτέρα, καὶ Σεραφὶμ Ἀνωτέρα, ἡ Θεοτόκος Μαριὰμ, Βασιλὶς τῶν ἁπάντων, ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, ἀπαύστως δοξάζεται ἡ Πάναγνος. ἣν ὑμνεῖ ὑπὲρ πάντων, Ἀθλοφόρος, ὁ πανένδοξος Μηνᾶς.

Ὁ μετὰ δέους καὶ πόθου σὲ ἀνυμνῶν Θεοφρόνως τὴν Ἄχραντον Μητέρα τοῦ Θεοῦ Βασιλίδα τῶν ὅλων, διηνεκῶς, ὡς ἀληθῶς, λυτροῦται γεέννης καὶ κολάσεως, ἱκεσίαις ὀξέως, Ἀθλοφόρου τοῦ Μηνᾶ, ὡς ἀληθῶς.

Ἁμαρτωλοὶ δεῦτε πάντες μετ' εὐλαβείας ἐν πίστει προσδράμωμεν προθύμως ἐκ ψυχῆς τῇ Μητρὶ τοῦ Δεσπότου πανευσεβῶς λίαν θερμῶς, κραυγάζοντες, λύτρωσαι Θεόνυμφε αἰωνίου γεέννης,

τοὺς

τοὺς ὑμνοῦντάς σε Πανύμνητε Ἁγνή.

Εὐλογημένη Μαρία, τῶν Οὐρανῶν ὑπερτέρα, Πανάχραντε γεννήτρια Θεοῦ, σωτηρία τοῦ κόσμου. σὲ προσκυνοῦμεν εὐσεβῶς. συνθέντα σοι τάδε τὰ ἐφύμνια ῥῦσαι παντὸς κινδύνου, καὶ γεέννης, ταῖς ἐντεύξεσι Μηνᾶ. Ἄλλος. Τύπον τῆς Ἁγνῆς.

ΝΟ'ες τὴν σεπτήν σου Ἅγιε, καὶ ὑπὲρ φύσιν καρτερίαν ἐθαύμασαν. διὸ καὶ ἡμεῖς, ὑμνολογοῦντές σε ἔνδοξε, Πανάοίδιμε Μάρτυς κραυγάζομεν. Μηνᾶ σαῖς ἱκεσίαις τῶν δυσχερῶν ἡμᾶς ἀπάλλαξον.

Μέγα τῶν Ὁσίων καύχημα, καὶ Ἀθλοφόρων, ἀνεδείχθης ἀείμνηστε. διὸ καθ' ἡμῶν, τῶν πειρασμῶν τὴν σκοτόμαιναν, σαῖς πρεσβείαις ἀπέλασον Ἅγιε, Μηνᾶ Χριστοῦ θεράπων, ἵνα σε πίστει μακαρίζομεν.

Δέξαι Ἀθλητῶν καλλώπισμα, τόδε μοι μάκαρ, πονιχρὸν, νῦν ἐφύμνιον, ὅπερ Ἅγιε ἐξ ἀλλοτρίας προσήγαγον, σοὶ ὡς λίαν θερμῷ ἀντιλήπτορι, Μηνᾶ μετὰ δακρύων, καὶ μὴ ἀπώσῃ με τὸν δείλαιον. Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ Πανάχραντε, τὸν σὸν Υἱὸν, μετὰ Μηνᾶ τοῦ θεόφρονος, καθικέτευσον τοῦ οἰκτειρῆσαί με Δέσποινα, τὸν πολλαῖς ἁμαρτίαις ὑπεύθυνον ἵνα σε Θεοτόκε ὑμνολογῶ τὴν ὑπερένδοξον. Ἄλλος. Στέργειν μὲν ἡμᾶς.

Ε"Στης γεγηθὼς, βήμασιν τῶν Τυράννων.
Λεύσσων φαεινὰς, ἀντιμισθίας μάκαρ,
Οὔσας θεόφρον, τῶν πόνων ἀνταξίας.
Δεῖξον φέριστε. τῆς ἄνω κληρουχίας,
Πάντας σε πιστῶς, προσκυνοῦντας ἐκ πόθου.
Πέλων Ἀρωγὸς, εὐσεβῶν Μηνᾶ μέγας,
Νῦν σοι ταπεινῶς, προσκομίζοντα τρόμῳ,
Πίστει τε ταῦτα, συντεθεικότα φρίκης,
Ῥῦσαι τάχιστα, κινδύνων πάντων μάκαρ,

Ἄνω



Ἄνω ἄειρε, εἰς μονὰς σεσωσμένων.
Πόθῳ σε ὑμνῶ, ἐκ μυχοῦ τῆς καρδίας.
Ῥᾷον σαωθεὶς, τῇ ἀρωγῇ τῇ σέθεν,
Μάρτυς σε πίστει ἐκδυσωπῶ συντόνως,
Μηνᾶ με αἰὼν, ἐξέλου τῶν κινδύνων,
Δῶρον κράτιστε. ἰσχύεις γὰρ ὀξέως. Θεοτ.
Ρῦσαι ἀπειλῆς, τοὺς σέθεν δούλους Κόρη,
Π άσης τε δεινῆς, θλίψεως Παναγία,
Ὤκιστα πάντας, ταῖς λιταῖς Μηνᾶ ὅπως,
Ὑμνῶμεν ὄντως, ἐκ μυχοῦ τῆς καρδίας,
Πίστει σ' ἀληθῶς, ὡς ὀφείλεται ἄγαν.

Μεγαλυνάρια.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἀθλοφόροις, μέγιστον προστάτην Μηνᾶ τὸν Στεφανίτην.

Μεγάλυνον ψυχή μου, τὸν τοὺς Ἀντιπάλους, γενναίως καθελόντα, Μηνᾶ τὸν Ἀθλοφόρον.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως, ὑπὲρ Χριστοῦ παθόντα Μηνᾶ τὸν Θειηγορον.

Μεγάλυνον ψυχή μου, τὴν Ἁγνὴν Παρθένον, Βασίλισσαν τοῦ κόσμου, τὴν μόνην Θεοτόκον.

Ἀγγέλων ταῖς χορείαις, συνὼν ἐν τοῖς ὑψίστοις, Μηνᾶ Χριστὸν δυσώπει, ὑπὲρ ἡμῶν Θεόφρον.

Τῶν δυσμενῶν τὸ θράσος, Μηνᾶ στεῤῥῶς καθεῖλες Πνεύματος τῇ ἰσχύϊ, ὡς ἀήττητος Μάρτυς.

Τοὺς πόθῳ σου Παμμάκαρ, τὴν ἑορτὴν τελοῦντας, Μηνᾶ Χριστοῦ θεράπων, διάσωζε λιταῖς σου.

Τὸν ἕνα τῆς Τριάδος, ἡ τέξασα ἀῤῥήτως Παρθένε Παναγία, συντήρει σοὺς οἰκέτας.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

ΜΗνᾶν τὸν Πανάοίδιμον, τῶν Ἀθλητῶν, τὸν ἔκλαμπρον,

τὸν

τὸν πᾶσαν τȣ̃ ἀρχεκάκȣ, μανίαν καταβαλόντα ϗ πᾶσαν τὴν ὑφήλιον, λαμπρῶς καταφωτίσαντα, τερασίων ταῖς λάμψεσιν ἡμῶν τὸν μέγαν προστάτην, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον.

Παρθένε Παναμώμητε, πιστῶν τὸ καταφύγιον, ἡ σωτηρία τȣ̃ κόσμȣ, ἡ ἀληθῶς Θεοτόκος, Παστὰς ἡ ἐπȣράνιος Οὐρανὸς ὁ ὑπέρφωτος, Παράδεισος ὁ ἔμψυχος, ἡ Μήτηρ τȣ̃ Βασιλέως οἰκτείρησον σȣ̀ς οἰκέτας.

Εἰς τȣ̀ς Αἴνȣς Ἦχος β. Ποίοις εὐφημιῶν.

ΠΟίοις οἱ εὐσεβεῖς φθέγμασιν, ἐπαινέσωμεν τὸν Ἀριστέα Μηνᾶν τὸν πανένδοξον Μάρτυρα, τὸν ὑπὲρ Χριστȣ̃ ἐναθλήσαντα, τὸν τȣ̃ Ὀλετῆρος τὴν ἀπάτην, εἰς τέλος καταβαλόντα θείῳ Πνεύματι, ϗ νίκης τὰ τρόπαια ἐγείραντα· ὅνπερ ὁ πάντων Δεσπότης, ἀθανάτȣ δόξης διαδήμασι στεφανοῖ. Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις εὐφημιῶν ᾄσμασιν εὐφημήσωμεν τȣ̀ς Ἀθλοφόρȣς. τȣ̀ς ἐπὶ τῆς γῆς ἀναλάμψαντας, ϗ τȣ̀ς εὐσεβεῖς καταυγάσαντας, τὰ θεῖα τȣ̃ Πνεύματος πυξία μεγίστȣς τȣ̀ς θησαυρȣ̀ς, τῆς θείας χάριτος, πλȣτȣ̃ντα θεοπρεπῶς ἄγαν ἐρίτιμα Μηνᾶν τὸν θεῖον, σὺν τȣ́τῳ, Βίκτορα τὸν ἔνδοξον, ϗ Βικέντιον τὸν σεπτόν. ȣ̀ς δόξης ὁ Κύριος λαμπρῶς ἐν κόσμῳ ἐδόξασε·

Ποίοις ὑμνῳδιῶν ἄνθεσιν, ἀνυμνήσωμεν τὸν Ἀθλοφόρον, τὸν τȣ̀ς δυσμενεῖς καταισχύναντα ϗ εἰδώλων πλάνην ἐλάσαντα, τὸν τῆς ἀσεβείας καθαιρέτην, τὸν μέγαν ἐν Ἀθληταῖς, τὸν ὑπερθαύμαστον τὸν κόσμῳ Ἡλίȣ δίκην ἐξαστράψαντα, Μηνᾶν τὸν θεῖον συμφώνως, εὐσεβῶν τὸ καύχημα· τὸν δωρȣ́μενον τοῖς πιστοῖς θεόθεν τὴν ἄφεσιν σφαλμάτων, ϗ μέγα ἔλεος·

Ποίοις μελῳδικοῖς ᾄσμασιν, ἀνυμνήσωμεν τȣ̀ς Ἀθλοφόρȣς, τȣ̀ς ἐπὶ τῆς γῆς διαπρέψαντας ϗ ἐν τοῖς ὑψίστοις ὑπάρχοντας, τȣ̀ς τῆς Οὐρανίȣ Βασιλείας μετόχȣς ϗ κληρονόμȣς θείᾳ χάριτι,



ριτι, τȣ̀ς πᾶσι παρεχομένȣς δῶρα ἔνθεα. λιταῖς αὐτῶν πρὸς τὸν Κτίστην, Μηνᾶν τὸν θαυμάσιον, ϗ Βικέντιον τὸν κλεινὸν, Βίκτορά τε Ἄριστον· ȣ̀ς ὁ Χριστὸς ὑπερύψωσε.

Δόξα ἦχος πλά.

Ὁ Συνάναρχος ϗ συναΐδιος Υἱὸς ϗ Λόγος τȣ̃ Θεȣ̃, καθάπερ ἐν Εὐαγγελίοις προέφη· ὅστις με ἐνώπιον ὁμολογήσει τῶν ἀνθρώπων, κἀγὼ αὐτὸν ἔμπροσθεν, Πατρός μȣ τȣ̃ ἐπȣρανίȣ. ȣ̔́τως οἱ πανένδοξοι Ἀθλοφόροι, Μηνᾶς, σὺν τοῖς συνάθλοις αὐτȣ̃ θερμῶς ἀπεργασάμενος, τὸ σωτήριον ἐν ὄψεσι Βασιλέων ϗ Τυράννων, τȣ̃ Δεσπότȣ ὄνομα ἐκήρυξαν. ὑπὲρ ȣ̔̃ ϗ ἀθλήσαντες, διαδήμασιν ἀειθαλέσι, παρ᾽ αὐτȣ̃ ἐστέφθησαν. ϗ νῦν ἐν Οὐρανοῖς, πρεσβεύȣσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Δοξολογία Μεγάλη ϗ Ἀπόλυσις. Εἰς τὴν Λειτȣργίαν.

Μεγαλυνάριον. Πρὸς Τὴν τιμιωτέραν.

ΘΑυμασίων πάντων σε ὁ Χριστὸς ἀνέδειξε Μάρτυς, ϗ τεράτων ὑπερφυῶν, αὐτȣργὸν διὸ τȣ̀ς σὲ τιμῶντας παντὸς κινδύνȣ σῶζε Μηνᾶ πανένδοξε.

Ἀναγνώσματα δὲ ἐν τῷ Ἑσπερινῷ, ζήτει τὰ τȣ̃ ἁγ΄. Δημητρίȣ

Κανὼν Παρακλητικὸς εἰς τὸν Ἅγιον Μηνᾶν. Εὐλογήσαντος τȣ̃ Ἱερέως ἀρχόμεθα τὸ Κύριε εἰσάκȣσον. Εἶτα Θεὸς Κύριος.

Καὶ τὰ παρόντα ἦχος δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.

ΤῺ, Ἀθλοφόρῳ, οἱ πιστοὶ ὁμοφρόνως, δεῦτε προσπέσωμεν ὁμȣ̃ ἐκβοῶντες, οἱ ἁμαρτήμασι βαρȣ́μενοι σὺν δάκρυσι, σπεῦσον Πανάοιδιμε, Ἀθλητὰ τȣ̃ Κυρίȣ, ταῖς πρὸς τὸν Οἰκτίρμονα, ἱκεσίαις Θεόφρον, παντὸς κινδύνȣ, νόσων χαλεπῶν, Μηνᾶ Παμμάκαρ, ἀπάλλαξον ἅπαντας. Θεοτοκίον.

Τῇ Θεοτόκῳ μετὰ δέȣς, ἐμφρόνως πάντες προσδράμωμεν κραυ-

κραυγάζοντες πόθῳ, Ὑπεραγία Δέσποινα, Πανύμνητε ῥῦσαι τῷ ἐλέει σου, ἀδοκήτων κινδύνων, πάσης περιστάσεως καὶ κολάσεως τάχος, καὶ τῆς πανώλους λύμης Ἀγαθὴ εὐλογημένη, Μαρία Θεονύμφε. Καὶ εὐθὺς ὁ Ν'. Ὁ Κανών.

Οὗ ἡ ἀκροστιχίς. Τὸ δὴ πόθῳ σοὶ νῦν Ἰωάννης ἄγει.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ταῖς πρὸς Χριστόν σου, ἱκεσίαις Ἅγιε, Μηνᾶ Πανεύφημε, ῥῦσαι ἡμᾶς τάχος, τῶν δεινῶν, καὶ θλίψεων, καὶ πάσης περιστάσεως, καὶ νοσήματος μάκαρ. σὲ γὰρ προστάτην κεκτήμεθα, πρὸς Θεὸν, Πανεύφημε ἅπαντες.

Ὄλβιος πέλεις, παῤῥησίαν κτώμενος, πρὸς τὸν Χριστὸν Ἀθλητὰ δώρησαι σοῖς δούλοις, τὰς αἰτήσεις τάχιστα: πίστει γάρ σοι κραυγάζουσιν, Ἀθλοφόρων τὸ κλέος, Μηνᾶ Μαρτύρων Ἀγλάϊσμα. ῥῦσαι τοὺς πιστῶς εὐφημοῦντάς σε

Δόξης ἀνθοῦς, ἱερᾶς λαμπρότητος εἰς τὰ Οὐράνια, ἀξιωθεὶς μάκαρ, λάμψει τῶν ἀγώνων σου, παράσχου τοῖς ἱκέταις σου, τὰ αἰτήματα Μάρτυς, ταῖς πρὸς Χριστὸν, ἱκεσίαις σου. ἔνδοξε Μηνᾶ Ἀξιάγαστε. Θεοτοκίον.

Ἡ ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, εὐλογημένη Ἁγνή. Ἄνθος δωρημάτων, Παρθενίας τέμενος, τοῦ Οὐρανοῦ ὑπέρτερε, Παράδεισε τὸ κάλλος, τῶν Ἀσωμάτων, εὐπρέπεια, ῥῦσαι τοὺς πιστῶς προσκυνοῦντάς σε.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Παροξύνας ἀμέτρως τὸν Λυτρωτὴν ἔνδοξε, πράξεσιν μυρίοις καὶ κακουργήμασι, νῦν περιπέπτωκα, δεινοῖς παντοίοις, ὁ τάλας ἐξ ὧν με ἀπάλλαξον, ταῖς ἱκεσίαις σου.

Ὁ Θεός σε Παμμάκαρ, τῶν Ἀθλητῶν καύχημα, ἔδειξεν ἐν κόσμῳ προστάτην τῶν εὐφημούντων σε, διὸ οἰκτείρησον, ταῖς πρὸς Χριστόν σου πρεσβείαις, τοὺς πιστῶς τιμῶντάς σε, Μηνᾶ θαυμάσιε.

Θαυ-



Θαυμασίων σε μάκαρ, ὑπερφυῶν ἔνδοξε, γνόντες αὐτουργόν σε Θεόφρον, πάντες οἰόμεθα πλουτεῖν σε Ἅγιε, πρὸς τὸν Χριστὸν παῤῥησίαν, ὃν ἡμῖν ἱλέωσαι Μηνᾶ Ἀοίδιμε. Θεοτ.

Ὡς Πανάμωμος Μήτηρ τοῦ ποιητοῦ, Ἄχραντε, ὡς Ἁγιωτέρα ἁπάντων, τῶν ἄνω, Δέσποινα, ὡς πάντων Ἄνασσα, εὐλογημένη Μαρία. ῥῦσαι τοὺς ὑμνοῦντάς σε Ἀειμακάριστε.

Διάσωζε Μάρτυς Κυρίου, τοὺς ἀνυμνοῦντάς σε πόθῳ, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου Ἅγιε, κινδύνων ἀδοκήτων καὶ νόσων.

Ἐπίβλεψον ἐκ τῶν Ὑψίστων, Πανύμνητε Θεοτόκε, ἐπὶ τὰς ἡμῶν ἀσθενείας Μητρόθεε, καὶ ἴασαι ταῖς λιταῖς τῶν Μαρτύρων.

Εἶτα μνημονεύει ὁ Ἱερεύς. Καὶ λέγομεν Τροπάριον.

Πρεσβείᾳ τῇ σῇ Μηνᾶ Θεομακάριστε, παντοίας ἡμᾶς, κολάσεως ἀπάλλαξον, ταῖς λιταῖς σου Ἅγιε, πρὸς Χριστὸν, τὸν μόνον φιλάνθρωπον. σὲ γὰρ προστάτην κεκτήμεθα, Ἀθλητῶν ἐγκαλλώπισμα Ἀοίδιμε. Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Σύ με ἀεὶ, Ἅγιε τῶν περιστάσεων, σὺ κινδύνων, σὺ καὶ τῆς κολάσεως, παντὸς κακοῦ καὶ τῶν δυσχερῶν, ταῖς πρὸς τὸν Δεσπότην ἀπάλλαττε ἱκεσίαις σου, Μαρτύρων ἡ λαμπρότης ὀρθοδόξων τὸ κλέος παρασχὼν τὰ αἰτήματα τάχιστα.

Ὁλοσχερῶς, ἐπὶ τὴν σὴν Πανοίδιμε θείαν σκέπην, σπεύδω ὁ πανάσωτος, κράζων θερμῶς Μάρτυς τοῦ Χριστοῦ: ῥῦσαί με ἀνίας καὶ τῆς δεινῆς περιστάσεως, Μηνᾶ πιστῶν προστάτα ταῖς λιταῖς πρὸς Χριστόν σου σὲ γὰρ ἔχω θερμὸν ἀντιλήπτορα.

Ἵνα πιστῶς σε ἀνυμνῶ Παμμακάριστε μετὰ πόθου Ἀθλοφόρων καύχημα, καὶ πᾶς πιστὸς, σε ἀνευφημῇ παράσχου ἀξίως, ἡμῖν τὸν ἔλεον ἄνωθεν πλουτεῖς γὰρ παῤῥησίαν, πρὸς Θεὸν οἷα Μάρτυς ὀρθοδόξων τὸ κλέος Θεόληπτε. Θεοτοκίον.

Νόες Ἁγνὴ, τῶν ἀσωμάτων στρατεύματα τῶν αὔλων τάγματα καὶ ἅπασαι, τῶν Οὐρανῶν τάξεις Ἀγαθὴ, σὲ ὑμνολογοῦσιν, ὡς Βασιλίδα Οὐράνιον μεθ' ὧν πᾶσα ἡ Κτίσις, προσκυνεῖ σε

Κυρί-

Κυρία. τῷ ἐλέει σου πάντας οἰκτείρησον.

'Ω, δὴ έ. Ἵνα τί με ἀπώσω.

ΥΠὲρ Ἥλιον Μάκαρ, ἔλαμψας ἐν κόσμῳ ἀκτῖσι τῶν ἔργων σου, καὶ θαυμάτων ὄντως, ταῖς ἐλλάμψεσι, πλείστους ἐλαμπρύνας. διὸ πάντες πόθῳ, σὲ εὐφημοῦμεν Θεοκήρυξ. ταῖς λιταῖς σου, Μηνᾶ, ἡμᾶς φώτισον.

Νῦν σε πίστει καὶ πόθῳ, πάντες εὐφημοῦμεν Μηνᾶ ἀξιάγαστε, ταῖς πρὸς τὸν Δεσπότην, ἱεραῖς μεσιτείαις σου ἔνδοξε, ῥῦσαι τῶν κινδύνων, καὶ τῶν ἐχθίστων τῆς μανίας, ὡς προστάτης ἡμῶν Ἀοίδιμε, σέβαστος.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ τῶν ἐνεστώτων κινδύνων Πανεύφημε, Ἀθλοφόρων κλέος, τοὺς πιστῶς σε τιμῶντας ἀπάλλαξον, ὡς θερμὸς προστάτης καὶ βοηθὸς τοῖς ἐν ἀνάγκαις, Ἀθλητῶν ὡραιότης Πανεύφημε. Θεοτοκίον.

Ὢ Μητρόθεε Κόρη, Πάναγνε Θεόνυμφε Θεοχαρίτωτε, τάξεις ἀσωμάτων καὶ Ἁγίων ἁπάντων συστήματα, σὲ ὑμνολογοῦσιν, ὡς Βασιλίδα τῶν αἰώνων: τῷ ἐλέει σου οἴκτειρον ἅπαντας.

'Ω, δὴ ς'. Τὰ νέφη τῶν λυπηρῶν.

ΑΝύψωσον εὐσεβῶν κραταίωμα, τῇ ἐντεύξει σου Μηνᾶ πρὸς τὸν Κτίστην, σὺ γὰρ ἡμῶν, ὁ προστάτης Παμμάκαρ, καὶ σὲ ὑμνοῦμεν ἐν πίστει θαυμάσιε. ἀπάλλαξον πᾶσαν ἡμῶν, ἀθυμίαν ἐν τάχει ἀείμνηστε.

Νοοῦντες τὴν πρὸς Θεὸν Πανθαύμαστε, παῤῥησίαν σου Μαρτύρων τὸ κλέος, πάντες πιστοὶ, σὲ ὑμνοῦμεν ἐκ πόθου. ῥῦσαι ἡμᾶς συμφορῶν, καὶ κακώσεων, λιταῖς σου πρὸς τὸν Λυτρωτὴν, παρασχὼν τὰς αἰτήσεις τῶν δούλων σου.

Ναμάτων ζωοποιῶν τοῦ Πνεύματος, ἐμπλησθεὶς ἡμῖν, ἐντεύξει σου Μάκαρ ἵνα καρποὺς ἀρετῶν ἐκβλαστῆσαι, Μηνᾶ Θεόφρον ἰσχύσωμεν ἅπαντες, τιμῶντές σου τὴν ἱερὰν, καὶ σεβάσμιον Μάρτυς ἀντίληψιν. Θεοτοκίον.

Η'



Ἡ Πάνσεμνος τοῦ Θεοῦ Λοχεύτρια, ἡ Παρθένος Θεοτόκος Μαρία, τῇ πρὸς Θεὸν, ἑαυτῆς παῤῥησίᾳ, τῶν δυσχερῶν ἀπαλλάττει τοὺς κράζοντας. ὑμνοῦμέν σε μόνη Ἁγνὴ, Παναγία Θεόνυμφε Δέσποινα.

Διάσωσον παντὸς κινδύνου, τοὺς εὐφημοῦντάς σε Μάρτυς, ταῖς πρὸς Χριστὸν λιταῖς σου Ἀοίδιμε, παῤῥησίαν πρὸς Θεὸν κεκτημένος.

Ἄχραντε εὐλογημένη Μαρία. ἱκεσίαις Μηνᾶ τοῦ Ἀθλοφόρου, οἰκτείρησον, τοὺς πιστῶς σε ὑμνοῦντας.

Ὁ Ἱερεὺς μνημονεύει ὡς δεδήλωται. Καὶ μετὰ τὴν Ἐκφώνησιν εὐθὺς τὸ Κοντάκιον. Προστασία τῶν Χριστ.

ΠΡοστασία τῶν ὑμνούντων σε Θεόνυμφε, ἱκεσίαις τοῦ Ἀθλοφόρου Πανάχραντε, μὴ παρίδῃς τοὺς προσκυνοῦντάς σε Ἁγνὴ, ἀλλὰ σπεῦσον μόνη Ἀγαθὴ, εἰς τὴν ἀντίληψιν ἡμῶν τῶν πιστῶς ἐκβοώντων σοι, τάχυνον Ὑπεραγία, πρόφθασον ἡ προστασία. ἡ ἀπαλλάττουσα ἀεὶ, τῶν κινδύνων τοὺς τιμῶντάς σε.

Καὶ εὐθὺς τὸ Προκείμ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. ιε. 17.

ΕΙπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους. εἰ ὁ Κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ Κόσμου ἦτε, ὁ Κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ Κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ Κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ Κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ. οὐδὲ Ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν

σιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον. νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ Νόμῳ αὐτῶν ὅτι ἐμίσησάν με δωρεάν. ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος. ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας. ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς ἀλλ' ἔρχεται ὥρα· ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Καὶ εὐθὺς Δόξα ἦχος β΄. Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Καὶ τὰ παρόντα. Πρὸς τὸ. Ὅλην ἀποθέμενοι.

ΜΗ' ἐγκαταλίπῃς με, παραπτωμάτων, εἰς βάθη, τυγχάνειν, τὸν ἄσωτον ἀλλ' ὀξέως, ἔγειρον τὸν οἰκέτην σου, τοῦ βυθοῦ Ἅγιε, τῶν πολλῶν κακῶν μου, τῆς ψυχῆς τε, καὶ τοῦ σώματος χεῖρα ὀρέγων μοι, ταῖς πρὸς τὸν Θεὸν, ἱκεσίαις σου, Μαρτύρων ἐγκαλλώπισμα. ἵνα σε ὑμνῶ Παναοίδιμε, ὡς μέγαν προστάτην ῥυόμενον ἁπάντων τῶν δεινῶν, καὶ τῆς ἐνθέου λαμπρότητος, ἀξιοῦντα ἅπαντας.

Οὐδεὶς σοι πίστει προσδραμὼν, κατῃσχυμμένος ἀπὸ σοῦ, ἀπαίρει Μηνᾶ Θεόφρον, ἀλλ' αἰτῶν μετὰ πόθου, ἀξιοῦται τῆς χάριτος, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ παντὸς κινδύνου, ἀπαλλαγὴ τῶν ἀδοκήτων, ὑπάρχων, Ἀθλοφόρε Κυρίου, σῶζε πάντας τῶν δεινῶν, ταῖς πρὸς τὸν Χριστόν σου πρεσβείαις, Μηνᾶ τῶν εὐσεβῶν ὁ βοηθός.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. Καὶ τὰ ἑξῆς.

Ὠδὴ



Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

ΣῶΩσον τὸ κλέος Ἀθλοφόρων τοὺς τιμῶντάς σε, Μηνᾶ Χριστοῦ θεράπον. παῤῥησίαν γὰρ σὺ πλουτεῖς πρὸς τὸν Δεσπότην· περιφερῶν τοὺς μέλποντας, τὸν Χριστὸν εἰς τοὺς αἰῶνας

Ἄνω χοροῖς τῶν ἀσωμάτων, τὴν ὑπέρθεον, ὑμνολογῶν Τριάδα ὑπὲρ πάντων ἡμῶν, τῶν πίστει σε τιμώντων, δυσώπει Παμμακάριστε, λυτρωθῆναι τῶν κινδύνων

Γόνος τὸ βρότειον τιμᾷ σου, τὴν ὑπέρφωτον καὶ ἔνδοξον ἡμέραν, ἐν ὑψίστοις λαμπρῶς μετὰ τῶν ἀσωμάτων, Τριάδα τὴν ὑπέρθεον προσκυνῶν ἀεὶ λατρεύεις. Θεοτοκίον.

Ἔχεις ὡς Μήτηρ παῤῥησίαν, πρὸς τὸν Ὕψιστον, τὸν σὸν Υἱὸν Παρθένε, ὑπὲρ πάντων ἡμῶν, δυσώπει Παναγία, αὐτοῦ τὴν ἀγαθότητα, οἰκτειρῆσαι πάντας Κόρη.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει Ἁγίῳ.

ἹΚετεύει Μηνᾶς ὁ Ἀθλοφόρος, σὲ τὸν πάντων Θεὸν, καὶ Βασιλέα ὑπὲρ ἡμῶν τῶν πίστει κραυγαζόντων σοι. Κύριε τῆς δόξης, σὲ ὑμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἀσωμάτων αἱ τάξεις, καὶ Ἁγίων, δυσωποῦσι Χριστὸν τὸν Βασιλέα μετὰ Μηνᾶ, τοῦ θείου, καὶ Θεόφρονος. Κύριε τῆς δόξης, οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.

Σὲ ὑμνοῦσιν, Οὐράνιαι χορεῖαι, τὸν παντάνακτα. ὡς Κύριον τῆς δόξης, μετὰ Μηνᾶ Μαρτύρων τὸ ἀγλάϊσμα. ὦ Τριὰς Ἁγία, φρούρει ἡμᾶς, πάντας τῷ θείῳ σου ἐλέει Θεοτοκίον.

Ἅπαν χεῖλος, πνοὴ, καὶ πᾶσα Κτίσις ἀνυμνεῖ σε τὴν ὄντως Θεοτόκον, ὑπερφυῶς κυήσασαν τὸν Κύριον, τὸν Θεὸν τῶν ὅλων. ᾧ λατρεύει Κτίσις εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἔξεστη ἐπὶ τούτῳ.

ΤΟ'ν πάντων Βασιλέα, καὶ κραταιὸν, ἱκετεύων μὴ παύσῃ ἀοίδιμε ἐκδυσωπῶν ὑπὲρ τῶν τιμώντων σε, ἐκτενῶς. Μάρτυς Μηνᾶ Θεόπνευστε. καὶ ἐκδεχομένων ἀεὶ πιστῶς, ἀντίληψιν τὴν θείαν.

τὴν

τὴν σὴν Χριστοῦ θεράπων, καὶ εὐφημούντων σε ἀείμνηστε.

Ἐπίβλεψον ἐξ ὕψους Παμβασιλεῦ, τῷ ἀπείρῳ ἐλέει σου Κύριε, ὡς ἀγαθὸς, οἴκτειρον τὸν κόσμον σου κραταιὲ, λιταῖς τοῦ Ἀθλοφόρου σου, λύων τὴν κατήφειαν τὴν ἡμῶν, ὡς μόνος εὐεργέτης, παρέχων εὐφροσύνην, καὶ αἰωνίαν ἀπολύτρωσιν.

Θεότης ἑνιαία ἡ φοβερὰ, Τρισυπόστατε Κύριε Ἄναρχε, μόνε Θεὲ, Ὕψιστε Παντάρχα, Παμβασιλεῦ, σὲ λιτανεύει κράτιστε, ἅπασα ἡ κτίσις ὡς πλαστουργόν. Μηνᾶς τε ὁ γενναῖος, σὺν πᾶσι τοῖς Ἁγίοις, καὶ ἀσωμάτων τοῖς στρατεύμασιν. Θεοτ.

Ὦ Πάναγνε Μαρία Μῆτερ Θεοῦ, Σεραφὶμ ἀνωτέρα Θεόνυμφε, καὶ Χερουβὶμ, πάσης Οὐρανίου τε στρατιᾶς. σὲ δυσωπεῖ Πανάχραντε, μετὰ τῶν Μαρτύρων, ὁ παμφαὴς, Μηνᾶς ὁ Ἀθλοφόρος. οἰκτείρητον τὸν πιστῶς, συνθέοντα, τάδε τὰ ἐφύμνια.

Καὶ εὐθύς. Θαυμασίων πάντων σε ὁ Χριστός. Ζήτει φύλλα 25. Εἶτα. Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί. Καὶ τὰ ἑξῆς. Τὸ Τρισάγιον. Ὅτι σοῦ. Τροπάριον. Ἐλέησον ἡμᾶς Κύριε ἐλέησον ἡμᾶς, πάσης κτ. Ὁ Ἱερεὺς μνημονεύει. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ κτ. Ψάλλομεν δὲ ἐν τῷ τέλει καὶ τὰ παρόντα Τροπάρια. Ἦχος β´.

Πάντων προσδραμόντων Ἀθλητὰ, πίστει, τῇ θερμῇ ἀντιλήψει, τῆς προστασίας σου. Ἀθλοφόρε ἔνδοξε Μηνᾶ θαυμάσιε προστατεύεις δωρούμενος αἰτήματα τάχος, ταῖς πρὸς τὸν Οἰκτίρμονα λιταῖς σου ἔνδοξε. ὅθεν δυσωποῦμέν σε Μάκαρ οἴκτειρον ἡμᾶς ἱκετεύων, Θεὸν τὸν Παντάνακτα ἀοίδιμε. Θεοτ.

Πάντες προσκυνοῦμέν σε πιστῶς, Μῆτερ τοῦ Θεοῦ τῶν ἁπάντων, εὐλογημένη Ἁγνὴ, Ἄχραντε Πανύμνητε, Θεοχαρίτωτε ῥῦσαι πάντας τῶν θλίψεων, τῇ σῇ μεσιτείᾳ δυσωπεῖ σε Δέσποινα, Μηνᾶς ὁ ἔνδοξος, μετὰ τῶν Ἁγίων ἁπάντων. οἴκτειρον ἡμᾶς, σῷ ἐλέει, Παναγία Δέσποινα Παντανασσα.

Καὶ γίνεται Ἀπόλυσις ὡς σύνηθες.